## ΚΕΙΜΕΝΟΝ.

Κίνυτο κάλλεος οἷο φίλῳ θηεύμενος αἴγλην,
Τρισσοφαοῦς Θεότητος ὁμὸν σέλοις ἰσοφέρεστον,
Ὡς μούνη Θεότητι, καὶ, ὧν Θεὸς, ἐς ἀρίδηλον.
Κίνυτο καὶ κόσμοιο τύπους, οὓς στήσατο, λεύσσων
Οἷσιν ἐνὶ μεγάλοισι νοήμασι κοσμογόνος Νοῦς
Ἐσσομένου μὲν ἔπειτα, Θεῷ δέ τε καὶ παρεόντος.
Πάντα Θεῷ προπάροιθεν, ἅτ' ἔσσεται, ὅσσ' ἐγένοντο,
Ὅσσά τε νῦν παρέασιν. Ἐμοὶ χρόνος ὧδ' ἐκέασσε,
Πρόσθε τὰ μὲν, τὰ δ' ὄπισθε· Θεῷ δέ τε εἰς ἓν ἅπαντα
Καὶ μεγάλης θεότητος ἐν ἀγκοίνῃσι κρατεῖται.
Τοὔνεκεν ὅσσον ἔτετμεν ἐμὸς νόος, εἰσαΐοι τε,
Νοῦς ὤδινεν ἅπαντα, ῥάγη δ' εἰς ὕστερον ὠδὶς,
Ὥραιος εὖτε Θεοῖο μέγας Λόγος ἐξεκάλυψεν.

### ἙΡΜΗΝΕΙΑ.

Ἐκινεῖτο τοίνυν, πρὸ τοῦ τὸν κόσμον εἶναι, τῆς οἰκείας δόξης ὁρῶν, τὴν λαμπρότητα, τὴν ὁμοίαν αὐγὴν καὶ ἰσοδυνάμον τῆς τρισσοφαοῦς θεότητος. Ἐκινεῖτο δὲ, ὡς οἶδεν αὐτὸς ὁ θεὸς καὶ ἐκεῖνοι, ὧν κυρίως θεὸς ὁ θεός. Καὶ ἐθεώρει ὁ κοσμογόνος Νοῦς καὶ τοὺς τύπους, οὓς ἐν τοῖς μεγάλοις αὐτοῦ νοήμασιν ὑπεστήσατο βλέπων. Ἐθεώρει τοίνυν τοὺς τύπους τοῦ γενησομένου μὲν κόσμου καὶ μέλλοντος, τῷ Θεῷ δὲ καὶ ἤδη παρόντος. Πάντα γὰρ θεῷ ἔμπροσθεν ἤτοι ἐνύπαρκτα, πάντα καὶ τοῖς ὀφθαλμοῖς αὐτοῦ φανερὰ, ὅσα τε ἔσται, καὶ ὅσα ἐγένοντο, καὶ ὅσα νῦν πάρεισιν. Ἐμοὶ μὲν ὁ χρόνος ταῦτα διεῖλε, τὰ μὲν πρῶτον δείξας, τὰ δὲ ὕστερον· τῷ δὲ θεῷ εἰς ἓν ἅπαντα, καὶ ὁμοῦ κρατεῖται πάντα ἐν ταῖς μεγάλαις ἀγκάλαις τοῦ θεοῦ. Διὰ τοῦτο, ὅσον ὁ ἐμὸς κατέλαβε νοῦς, ἀκούοι τε, Νοῦς μὲν ὤδινεν ἅπαντα, ἐξεφάνη δὲ ὕστερον ἡ ὠδὶς, ὅτε ὁ ἁρμόδιος ἐπέστη καιρὸς, καὶ ὅτε ὁ τοῦ θεοῦ μέγας Λόγος ταῦτα ἐξεκάλυψεν.